τόλμα, καὶ τῶν ἀπεσαλμένων ὁ φόνος εἰς ταλανισμὸν μὲν ἀπάγει τοὺς Ἰουδαίους, προοίμιον δὲ γίνεται τῆς ἐσχάτης αὐτῶν ἀπωλείας; πῶς οὐχὶ τὴν ἴσην δίκην, ἵνα μὴ λέγω τὴν μείζονα, οἱ θεσμοὶ μὲν τῶν Ἰουδαίων μιμηταὶ, καὶ ὑπερβάλλεσθαι δὲ φιλονεικήσαντες αὐτοὺς, οὐκ αὐτοὶ καθ' ἑαυτῶν ἐπάγουσί τε, καὶ ἄφυκτον ταύτην κατασκευάζουσι περιφανῶς; οἱ γὰρ πονηρὰς δημιουργίας, ὧν ἔκδικος ἡμῖν ὁ σωτὴρ, τούτους δυσφημοῦντες προελθεῖν, πολλῷ χαλεπώτερον τολμῶσι τῶν ἀνελόντων αὐτούς. οἱ μὲν γὰρ κατὰ σωμάτων ἅπαξ ἀφῆκαν τὴν πληγήν· οἱ δὲ τὴν πονηρίαν αὐτοῖς φύσει συγκατασκευάζοντες, ἀΐδιον ἐναφιᾶσι τὴν ἀνίατον καὶ ἀνυπόστατον πληγήν, μετὰ τὸ καὶ τοὺς ἀνελόντας αὐτοὺς, ἀντὶ τῆς τιμωρίας, ἐπάθλοις κοσμεῖν, δι' ὧν καὶ τῆς σωματικῆς ἐκείνης σφαγῆς ἀρχηγοὺς τῇ γνώμῃ παρισῶσιν ἑαυτούς. καὶ οὐ ταῦτα μόνον, καίτοι τηλικαῦτα ὄντα, ~~ἀλλ~~ ἀλλὰ καὶ ἀπὸ τῆς κατὰ τῶν σωμάτων ἀσελγείας ἐπὶ τὸν κοινὸν δεσπότην καὶ δημιουργὸν ἀναφέρειν οὐ φρίττουσι τὴν ἀσέλγειαν. οἷς γὰρ, ὧν ἐστιν ἔκδικος, κακίας λέγουσιν ἔργα καὶ θεραπευτὰς, τούτοις τὴν ὕβριν, ἀλλ' οὐκ ἂν ὀνομάσαιμι, συνεξυβρίζουσι καὶ τὸν ἐκδικητήν. ὅτι δὲ τῶν προφητῶν ὁ χορὸς, καὶ αἷς ἱερολογίαις Μωσῆς ὑπηρετήσατο, αὐτοί τε θεοῦ πεφήνασι τοῦ ἀγαθοῦ καὶ πλάσμα καὶ λατρευταὶ, καὶ ὧν ὑποφῆται χρηματίσαι χάριν ἔλαβον, ἐπιπνοίας ἦν ταῦτα καὶ προνοίας ἀγαθουργοῦ, καὶ οὐδὲν ἦν πρός γε τὴν τότε τῶν ἀνθρώπων ἀκοὴν οὔτε σοφώτερον, οὔτε ἀσφαλέστερον, ἀλλ' οὔτε σωτηρίαν πα-

ρασχεῖν

~~l. ἐκδ~~

l. ἐναφιᾶσι

l. φύκ